νος καὶ ἀσκητικῶς διανύσας τὸν βίον ἐν οὐρανοβάμονι ἡσυχίᾳ καὶ ὁσιότητι μετὰ δέκατον ἔτος ἐτελειώθη. Ἐπανῆλθε δὲ ἐκ τοῦ ἁγίου Ὄρους καὶ ὁ πρώην παναγιώτατος κύριος Σεραφεὶμ ὁ Β'. καὶ κρυβεὶς καὶ διενεργήσας τὴν παραγραφὴν τοῦ τῆς ὑπερορίας ὁρισμοῦ, καὶ παρρησιασάμενος καὶ διαλύσας τὰς κατ' αὐτοῦ διαβολὰς ἔλαβε τὴν ἀθώωσιν καὶ ἐκεῖσε ἐπέστρεψε.

Κατ' αὐτὸ δὲ τὸ ἔτος ἀπείρηται μετὰ σφοδρᾶς ἀπειλῆς τῶν κρατούντων, καὶ διεκηρύχθη ἀποτόμως, μηδένα τῶν ὑποφόρων, μάλιστα χριστιανῶν, ἐξωνεῖσθαι αἰχμάλωτον τῶν ἐξ Ἰβηρίας ἁρπαζομένων· τοῦτο γοῦν τοὺς μὲν διὰ χρείας ἀγοράζοντας μετρίως ἐζημίωσε, τοὺς δὲ διὰ ζῆλον εὐσεβείας ἐλευθεροῦντας σφόδρα ἐλύπησε, καὶ πράγματα αὐτοῖς παρεῖχεν ὥστε μηχανᾶσθαι καινὰς ἐπινοίας εἰς πρᾶξιν τῆς φιλοθέου αὐτῶν γνώμης, ὑπὲρ ἐλευθερίας, μᾶλλον δ' εἰπεῖν εὐσεβείας τῶν ἀδελφῶν χριστιανῶν· ἤσχαλον μέντοι μὴ ῥαδίως μηδ' ὅσα σφίσι βουλομένοις διεκπεραίνοντες· οἱ δὲ λίαν εὐλαβεῖς καὶ φιλόθεοι συνορῶντες τὸ ξένον τῆς ἀποτόμου ἀποφάσεως, εἰς ἔσχατον μίσους καὶ ἀπηνείας κατὰ τῶν εὐσεβῶν ἐληλακὸς, λογισάμενοι ὀρθῶς ἐποχὴν ἐλευθερίας τοῦ ὑπ' ἀσεβῶν κατὰ τῶν Ἰβήρων διωγμοῦ, ταύτην τὴν πρᾶξιν διαγνόντες προεῖπον.

Ὁ δὲ ληστρικῶς καὶ παρανόμως πρόεδρος Φιλαδελφείας Ἑνετίησι γεγονὼς, ὡς εἶδε τοὺς ἐκεῖ ὀρθοδόξους, ὡς ἀπὸ λοιμοῦ ἀποπηδῶντας καὶ ὡς ἀνιέρου ὀλιγωροῦντας, διὰ τὴν προγενομένην καὶ διακηρυχθεῖσαν αὐτοῦ καθαίρεσιν, δεινοπαθῶν πάντα ἐποίει, ὥστε λαβεῖν τὴν παρὰ τῆς μεγάλης ἐκκλησίας ἀθώωσιν· συνέπραττον δὲ καὶ οἱ οἰκείως αὐτῷ προσκείμενοι, μάλιστα ἐκ κοινῆς τῆς ἐπιταγῆς ὁ ἐν τῇ Κωνσταντινουπόλει τῆς ἀριστοκρατίας πρέσβυς· διὸ πέμψας αὐτόσε καὶ τὸν πρωτοσύγκελλον αὐτοῦ Ἰωαννίκιον ἐσπούδαζε καὶ διὰ λόγων καὶ διὰ χρημάτων, ὥστε τυχεῖν τοῦ σπουδαζομένου, οἰόμενος προχείρους καὶ τοὺς ἄλλους παρακιβδηλεύειν τὴν πίστιν, καὶ διὰ